### *Κανών. Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμὸς*

»Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυ-
»πτίαν, μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνε-
»βόα· Τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

### *Τροπάρια*

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ κα-

ταφεύγω, σωτηρίαν ἐπιζητῶν· ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

**Π**αθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου Πανάμωμε.

*Δόξα Πατρί...*

**Σ**ωτῆρα τεκοῦσά σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν· σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν.

***Καὶ νῦν...***

**Ν**οσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.